γεῖν θέλοντα ἐκλόνει παράγων· συνιδὼν δὲ ὁ παναγιώτατος τοὺς πολλοὺς αὐτῶν ἀπαρεσκομένους, καὶ ἀσθένειαν γήρους, οὐ γνώμης ἐπιείκειαν, καὶ τῆς ἀρχῆς προδοσίαν, οὐ τρόπου χρηστότητα διαμεμφομένους, καὶ λοιδοροῦντας τὴν τοιαύτην αὐτοῦ ὕφεσιν καὶ ὕπουλον τυραννίαν, οὐ νόμιμον καὶ συνοδικὴν διοίκησιν φημίζοντας, μεταβαλὼν ἐπὶ τοὺς πολλούς, τούτους ἐθεράπευε, δοκῶν παρορᾶν τὸν αὐτοῦ φίλον ἐν οἷς οἱ πολλοὶ ἠρέσκοντο. Ὁ δὲ μὴ ἀνεχόμενος ταύτης τῆς ὀλιγωρίας, μᾶλλον δ' εἰπεῖν μὴ ἐπισχύσας κρατεῖν, ὡς ᾤετο, καὶ δεσποτικῶς ἄγειν καὶ φέρειν τὰ τῆς ἐκκλησίας, ἵνα πάντα ᾖ τοῖς Κυπρίοις, θρόνοι, κυριότητες, δόξα καὶ πλοῦτος, καὶ ὁ χρυσοῦς αἰών, δυσχεράνας ἐπὶ τὴν κατ' αὐτὸν ἐπαρχίαν ἀπῄει καὶ τοῖς πλείοσι μετὰ τοῦ Ἐφέσου ὑπεχώρησεν. Ὁ δὲ παναγιώτατος τὰς γνώμας τῶν πλειόνων μετιὼν ἐθεράπευε τοὺς δυνατούς, κεχαρισμένα τούτοις ποιῶν, καὶ οὕτω τοι συνέχων τῶν πολλῶν τὴν ὁμόνοιαν.

Κατὰ δὲ τὸν σεπτέμβριον μῆνα, τοῦ Κυζίκου Ἀγαπίου εὐτεῦθεν πρὸς τὰ ἐκεῖσε δικαιωτήρια ἀπιόντος, τὰ κακῶς συναχθέντα χρήματα τοῖς ἅρπαξι καὶ κληρονόμοις κάκιστα καταλιπόντος εἰς ἔλεγχον αἰσχροκερδείας καὶ ἀνοσιότητος· τοῦτο γὰρ ἔθος νῦν εἰσεκώμασεν, ἐθῶν ἁπάντων φαυλότατον ἅμα καὶ ἀδικώτατον, κατασυλοῦντας ἐκκλησίας καὶ φθείρειν τὰ κοινὰ τοὺς ἀρχιερεῖς, ἐφ' ᾧ καὶ τοὺς συγγενεῖς ἑαυτῶν ἱεροσύλους ποιήσωσι, θεοστυγεῖς καὶ ὁμοίους ἑαυτοῖς ἀναδείξαντες· πλεῖστα δ' ἠγωνίσατο ὁ παναγιώτατος, ὥστε τοῦ Ἀγχιάλου Ἰωακεὶμ, ὃν ἠγάπα, εἰς Κύζικον προὐβίβασε. Θανόντος δὲ καὶ τοῦ Δημητριάδος ἀρχιεπισκόπου, τὸν ἀρχιδιάκονον καὶ ἀνεψιὸν αὐτοῦ Δημητριάδος ἐχειροτόνησε, μητρόπολιν αὐτὴν τιμήσας. Ὑπέσχετο δὲ καὶ τῷ τότε Ἡρακλείας Μεθοδίῳ τὴν κατ' ἔφεσιν αὐτοῦ διαδοχὴν ἐπὶ τὸν Μυριοφύτου Μελέτιον ἐκτελέσαι, ὡς καὶ ἐπλήρωσε.

Ἐπεὶ δὲ τὰ τῶν κοσμοσωτηρίων δεσποτικῶν ἑορτῶν τοῦ